δοίδυξ αὔξει ἐπὶ τῶν λίαν μικρῶν. ἢ ἐπὶ τῶν αὐξανομένων φησὶν ὁ Χρύσιππος. ἀλλὰ καὶ ἐπὶ τῶν μικρῶν μενόντων εἴρηται ἡ παροιμία. ὁ γὰρ δοίδυξ, μικρός ἐστι καὶ στρογγύλος. ταῦτα δὲ ὡς πρὸς Κλέωνα πάντα. τορύνη δὲ τὸ κινητήριον τῆς χύτρας. πανταχοῦ δὲ ἐκτείνεται εἰ καὶ παρ' Εὐπόλιδι. τορύνην τέως δὴ ξίφος ὑπεζωσμένος. καὶ αὖθις. καὶ τὰν ἐπιδόνον τορύναν. τῆς ὑομουσίας δὲ τῆς χοιρωδείας, τῆς ἀπαιδευσίας. καὶ ὑηνία ἡ μωρία. ὡς ἀλλαχοῦ Ἀριστοφάνης. ἵνα μὴ γένηται Θεαγένους ὑηνεία. τινὲς δὲ ὑηνείαν τὴν ἐκ τῶν χοίρων δυσωδίαν φασὶν οἵπερ διαφόροις ἐδέσμασι χρώμενοι δυσώδη ἀποπατοῦσι καὶ εἰς βόρβορον διαλύονται.

A Οἱ ξυνεφοίτων.] οἱ συμμαθόντες. Τὴν δωριστί.] τὸ ὀνόματι παίζει διὰ τὸ δωροδοκεῖσθαι. διαβάλλει οὖν αὐτὸν ὡς κλέπτην καὶ δωροδοκούμενον. Δώριος δὲ οὕτω καλεῖται μία τῶν ἁρμονιῶν, ὡς καὶ Λύδιος καὶ Φρύγιος καὶ Βοιώτιος. ἄλλως. οὐδεμίαν ἁρμονίαν ἄλλην θέλει μαθεῖν. μόνην δὲ τὴν τοῦ δωροδοκεῖν ἐπώνυμον. Ὡς ἁρμονίαν.] ἁρμονίαν οἱ μουσικοὶ καλοῦσι, τὸ εὖ καὶ ἐπισταμένως εἶναι τὰς νευρὰς ἐν τοῖς κρούμασι τῶν ᾀσμάτων. ἐν ἤθει οὖν ταῦτά φησιν, ὅτι Κλέων ἑτέραν μουσικὴν οὐ μετεχειρίζετο, οὐδὲ μανθάνειν ἐβούλετο. ταύτης δὲ μόνης μετεποιεῖτο τῆς Δωρίου διὰ B τὴν αὐτοῦ δωροδοκίαν, καὶ ἔμπειρος ἦν.

ΔΡΑΜΑΤΟΣ ΤΡΙΤΟΥ,

Σκηνὴ πρώτη.

Τρίμετροι, Ιαμβικοί.

ΚΛΕΩΝ, ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΔΗΜΟΣ, ΧΟΡΟΣ.

BISETVS. Κορωνὶς ἐκ στίχων ἐνενήκοντα

Κλ. Ἰδού, θέασαι, κοὐχ ἅπαντας ἐκφέρω.
Αλ. Οἴμ' ὡς χεσείω, κοὐχ ἅπαντας ἐκφέρω.
Δη. Ταυτὶ τί ἐστι; Κλ. λόγια. Δη. πάντ'; Κλ. ἐθαύμασας.
Καὶ νὴ Δί', ἔτι γ' ἐμοῦ 'στι κιβωτὸς πλέα.
Αλ. Εμοὶ δ' ὑπερῷον, καὶ ξυνοικία δύω.
Δη. Φέρ' ἴδω, τίνος γάρ εἰσιν οἱ χρησμοί ποτε;
Κλ. Οὑμοὶ μέν εἰσι Βάκιδος. Δη. οἱ δὲ σοὶ τίνος;
Αλ. Γλάνιδος, ἀδελφοῦ τοῦ Βάκιδος γεραιτέρου.
Δη. Εἰσὶ δὲ περὶ τοῦ; Κλ. περὶ Ἀθηνῶν, περὶ Πύλου,
Περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων.
Δη. Οἱ σοὶ περὶ τοῦ; Αλ. περὶ Ἀθηνῶν, περὶ φακῆς,
Περὶ Λακεδαιμονίων, περὶ σκόμβρων νέων,
Περὶ τῶν μετρούντων τἄλφιτ' ἐν ἀγορᾷ κακῶς,
Περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων,
Τὸ πέος αὖ οὑτοσὶ δάκοι.
Δη. Αγε νῦν ὅπως αὐτοὺς ἀναγνώσεσθέ μοι,
Καὶ τὸν περὶ ἐμοῦ 'κεῖνον, ᾧπερ ἥδομαι,
Ως ἐν νεφέλῃσιν αἰετὸς γενήσομαι.

ACTVS III. SCENA I.

Senarij Iambici.

C CLEO, AGORACRITVS FARTOR, POPVLVS, CHORVS.

ἐξ. ὧν προτίθενται στίχοι ιη'.

CL. *EN videsis oracula mea: nec fero omnia.*
AG. *Hei, quàm cacaturio, nec ego effero omnia.*
PO. *Quid hæc sunt?* CL. *oracula.* PO. *num omnia?* CL. *miraris hæc?*
D *Et, per Iouem, mihi adhuc referta arca est domi.*
AG. *Et mihi cœnaculum, & duo domicilia.*
PO. *Sine videam: cuius sunt hæc oracula?*
CL. *Mea quidem Bacidis sunt.* PO. *cuius sunt tua?*
AG. *Glanidis, qui Bacidis frater maior fuit.*
PO. *De quo loquuntur?* CL. *de hisce Athenis, de Pylo,*
De te, de me, déque omnibus negocijs.
E PO. *Qua de re tua dicunt?* AG. *de Athenis, de viris*
Lacedæmoniis, de lentibus, de piscibus
Nouis: de his qui malè metiuntur in foro
Frumenta, de te, de me, rebúsque omnibus.
Hoc mentulam momorderit.
PO. *Agè nunc mihi recitate isthæc oracula,*
Et illud de me, quo delector plurimùm:
F *Vt aquila fiam in nubibus videlicet.*

Σχόλια. Ἰδοὺ θέασαι.] κορωνὶς εἰσιόντων αὖθις τῶν ὑποκριτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ καὶ δακτυλικοὶ ἐνενήκοντα ἕξ. ὧν προτίθενται στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιζ. τὸ γὰρ ιέ. δίμετρόν ἐστιν ἀκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος. περὶ δὲ τῶν ἑξῆς ἐν ἑκάστῃ περιόδῳ εἰρήσεται. ὁ δὲ Κλέων ἔξεισιν ἐπὶ τῶν μεταφρένων ἀγγεῖον φέρων πεπληρωμένον χρησμῶν. καὶ λέγει ὅτι τοιοῦτον ἄχθος βαστάζων, ὅμως ἅπαντας ἐξάγειν οὐκ ἠδυνήθην τοὺς χρησμούς. καὶ ὁ ἕτερος, ὁμοίως τὸ αὐτὸ ποιεῖ. τοῦτο γὰρ ἐπηγ- G γελμένοι εἰσῆλθον ἐξοίσειν τοὺς χρησμοὺς οὓς ἔχουσι περὶ τοῦ δήμου. Ξυνοικία δύο.] δυϊκῶς ἐπήγαγε τὰ ξυνοικία. λέγονται δὲ ξυνοικίαι, καὶ αἱ μικραὶ οἰκίαι, καὶ ἀποστάσεις, ἃς νῦν φανόπλας φαμέν. Γλάνιδος.] ἔπαιξε πρὸς τὴν κατάληξιν τὸν Βάκιν καὶ τὸν Γλάνιν εἰπάν. ἔστι δὲ εἶδος ἰχθύος ὁ γλάνις. γεραιτέρου δὲ συνετωτέρου. Περὶ σκόμβρων] εἶδος ἰχθύων οἱ σκόμβροι, παρόμοιοι τοῖς μικροῖς θύννοις. νέων δὲ, νεωστὶ τεταριχευμένων. ἔπαιξε δὲ, ὡς μάγειρος. Πέος δάκοι.] ἐνταῦθα οὐ τὸ σπήλαιον, ἀλλὰ τὸ αἰδοῖον, ὡς καὶ ἀλλαχοῦ. ὅπως ἂν οἰκουρῇ τὸ πέος τοῦ νυμφίου. καὶ αὖθις. τίς τὸ πέος ἀποτεθρίακεν. καὶ ἐν Νεφέλαις. τὸ πέος ἐν τῇ δεξιᾷ. Ως ἐν νεφέλῃσιν αἰετός.] ἐγένετο χρησμὸς τοῖς Αθηναίοις περὶ τοῦ δήμου αὐτῶν λεγόμενος.

G Εὔδαιμον πτολίεθρον Αθηναίης ἀγελείης.
Πολλὰ ἰδὸν καὶ πολλὰ παθὸν καὶ πολλὰ μογῆσαν.
Αἰετὸς ἐν νεφέλῃσι γενήσεαι ἤματα πάντα.

οἷον βασιλεὺς μέγας ὑπερέξεις ἁπάντων ὥσπερ ἀετὸς τῶν ὀρνέων. τούτου δὲ τοῦ χρησμοῦ, οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν Ορνισι καὶ Δαιταλεῦσι μέμνηται.